Ἐν τῷ σκευοφυλακείῳ ὡσαύτως τηροῦνται ἐξόχου ποικιλτικῆς ἄμφια ἱερά, ἐν οἷς κάλλιστον πάντων θαυμασίας τέχνης εἰς ποικίλματα ὠμοφόριον, οὗτινος καθ᾽ ἑκάτερον τῶν ἄκρων ἔχουσιν ἀναγραφὴ

100) + Τὸ παρὸν ὠμοφοριον ὑπάρχει τοῦ
πανιερωτατου Μ(η)ΤΡοπολίτου Παλαιων Πατρῶν ὑπερ
τίμου καὶ ἐξάρχου πάσης Ἀχαΐας κυροῦ Θεοφάνους
Διὰ χειρὸς Νεοφυτου ιερ(ομον)αχ(ου) ετους αχιη Ϻα΄

ὡσαύτως ἐπιτραχήλιον φέρον τὴν ἐπιγραφὴν

101) Ιωσὴφ ΙЄΡ(ο)Μ(όνὰ)χ(ου) Єἰκοσιφινισσης
καὶ C(ε)ΡΡ(αιὸυ) ΑωΚΘ

Καὶ ἐπιγονάτια δὲ καλῆς ἐργασίας ἀνάκεινται αὐτόθι τρία, ὧν ἐπὶ τοῦ πρώτου εἰκονίζεται ἡ Θεοτόκος ἐν μέσῳ τῶν ἀγγέλων, μετὰ τῆς ἐπιγραφῆς περὶ τοὺς ἀγγέλους μὲν


102) + Τὸ παρὸν ἐπιγονάτιον καὶ εν επιτραχίλιον ἀφιερωσεν
ὁ Μ(ητ)Ροπολίτης Νικομιδιὰς Νεοφυτος εν τω μοναστηρί(ῳ)
τις αχιρ⟨ο⟨πιη

(1) Περὶ Κωνσταντίου ὅρα ἐπιγραφὴν 86.

περὶ δὲ τὴν Θεοτόκον


του λ (=διὰ) το μνιμοσινον τον γονεον αυτου ως δηαλαμβανει ο κοδιξ

Ἐπὶ τοῦ δευτέρου εἰκονίζεται ἡ Ἀνάστασις, ἐπ᾽ αὐτοῦ δὲ διὰ ποικιλτικῆς ὡσαύτως ἔχουσι γραφὴ

103) 

1) + Περίζωσαι τὴν ρομφαίαν σου ἐπὶ τὸν μηρόν σου
2) δυνατε τη ὡραιοτητι σου και τω καλλει σου Κ(ύρι)ε ἐν
3) τεινε καὶ κατευοδοῦ καὶ βασιλευε ἕνεκεν ἀλη
4) θειας καὶ πραοτητος καὶ δικαιοσύνης. Νοεμβρίου Κ
5) + Τω παρων ηπογονατηον υπαρχη του
6) Μωναστηριου της Κοσνίτζας καὶ επι
7) υσε αυτη κυρα Αργυρη απο τον κο
8) σταντηνουπολην δια ψυχικην σοτηριας


ἐπὶ τοῦ τρίτου δὲ φέρεται καλῶς εἰργασμένος ὁ δικέφαλος ἀετός, ἀναγράφονται δὲ καὶ οἱ ἀφιερώσαντες διὰ τῶνδε

104) 

1) Σουλτανας καὶ τον γονεον
2) Μανολη
3) Μπαλασι και τον τεκνον
4) 1806

Ἀνάκεινται δ᾽ ἐν τῷ σκευοφυλακείῳ καὶ εὐαγγέλια ἀξίας με-

γίστης χειρόγραφα πολυτιμότατα διὰ τὴν ἐξαισίαν γραφήν, διὰ τὰ ἔγχρωμα κεφαλαῖα γράμματα, διὰ τὰς καλλιτεχνικὰς εἰκόνας τῶν εὐαγγελιστῶν (Εἰκ. 9) καὶ διὰ τὰ ἐπὶ τοῦ σταχώματος ὑπερό-



Εἰκ. 9.

χου τέχνης καὶ κάλλους ἔγκαυστα. Τούτων δὲ τὸ σημαντικώτατον ἴσως ἐγράφη αὐτῇ χειρὶ ὑπὸ Ἰωάννου τοῦ Καντακουζηνοῦ, ὅστις γενόμενος μοναχὸς καὶ μετονομασθεὶς Ἰωάσαφ μέχρι τοῦ θανάτου αὐτοῦ τῷ 1383 ἠσχολεῖτο μὲν καὶ εἰς τὴν συγγραφὴν τῆς ἑαυτοῦ ἱστορίας, ἀλλὰ καὶ ὡς καλλιγράφος κατεγίνετο, ὡς γνωστόν, εἰς τὴν ἀντιγραφὴν ἱερῶν κειμένων. Ἡ γνώμη ἡμῶν στηρίζεται εἰς τὸ ὄνομα Ἰωάσαφ, ὅπερ φέρει ὁ ἀντιγραφεὺς τοῦ Εὐαγγελίου τούτου, καὶ εἰς τὸν χρόνον τῆς ἀντιγραφῆς 1378, γενομένης πέντε ἔτη πρὸ τοῦ θανάτου τοῦ Καντακουζηνοῦ, ὡς δηλοῦσι τὰ ἐπὶ τῷ πέρατι τῆς ἀντιγραφῆς σημειωθέντα

Ἐτελειώθη, ἐν ἔτει
,ϛωπϛ (=μ. χ. 1378)
Μηνι ἰουνιω ιζ:·
Ν̇ Α

Θ(εο)ῦ τὸ δωρον: Κ/
ἰωασαφ πόνος+

Θέλει δὲ ἀποδειχθῆ τὸ ἀκριβὲς τῆς εἰκασίας ἡμῶν ἐξ ἀντιπαραβολῆς τῆς γραφῆς τοῦ εὐαγγελίου τῆς Κοσσυφηνείσης πρὸς τὰ σῳζόμενα κείμενα τοῦ Κανтακουζηνοῦ, ὧν εὐαγγέλιόν τι ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ γραφὲν ὑπὸ τοῦ Καντακουζηνοῦ τούτου κατὰ τὴν γνώμην τοῦ ἀειμνήστου σοφωτάτου περὶ τὴν παλαιογραφίαν Ἰωάννου τοῦ Σακελλίωνος. Τότε δὲ θὰ προσθέσωμεν εἰς τὰ χειρόγραφα τοῦ Καντακουζηνοῦ καὶ τὸ ἐν τῇ βιβλιοθήκῃ τοῦ Μεγάλου Σπηλαίου ἀποκείμενον εἰλυτὸν τὸ περιέχον μὲν λειτουργίαν τοῦ Χρυσοστόμου φέρουσαν ἐν τέλει τάδε

Θ(εο)ῦ τὸ δωρον καὶ ιωασαφ πόνος
μηνὶ φευρουαριω ΚΗ
του ,ϚΩΠ ἔτους (=μ. Χ. 1372)

ὁμοιότατον δὲ κατὰ τὸν τύπον τῆς γραφῆς τῶν τελευταίων τούτων (καθ' ὅσον ἔχω ἀντίγραφον αὐτῶν ἀκριβὲς) πρὸς τὰ τοῦ Εὐαγγελίου τῆς Κοσσυφηνείσης.

Ἐν τῇ βιβλιοθήκῃ ὡσαύτως ἀπόκεινται τὰ χαλκᾶ καλύμματα εὐαγγελίου μετὰ λόγου ἀξίων τορευμάτων, ὧν τὸ μὲν εἰκονίζει τὴν Σταύρωσιν (Εἰκ. 10), ἐν ᾗ εἰκονίζονται ἐν καλλίστῃ ἐργασίᾳ ἑκατέρωθεν τοῦ Ἐσταυρωμένου ἡ Θεοτόκος καὶ ὁ ἅγιος Ἰωάννης, κατὰ τὸ πλαίσιον δὲ ἄνωθεν μὲν πάλιν ὁ Χριστὸς εὐλογῶν ἔχων ἔνθεν καὶ ἔνθεν τὴν Θεομήτορα καὶ τὸν ἅγιον Ἰωάννην, κατὰ τὰς πλευρὰς δὲ καὶ κάτωθεν τοὺς δώδεκ' Ἀποστόλους, τὸ δὲ τὴν Ἀνάστασιν τοῦ Σωτῆρος (Εἰκ. 11) ἐν καλλίστῃ ὡσαύτως ἐργασίᾳ καὶ συνθέσει, ἔνθα εἰκονίζεται ὁ Ἀνιστάμενος ἐκ νεκρῶν, οὗτινος ἄνωθεν μὲν ΙϹ ΧϹ, ἑκατέρωθεν δὲ τοῦ ἀκτινοβόλου φωτοστεφάνου

105) ΗΛΝΑϹ ΤΑϹΗϹ

ἔχων ἔνθεν καὶ ἔνθεν τὴν Θεοτόκον καὶ τὸν Ἰωάννην γονυπετεῖς καὶ ὀπίσω αὐτῶν ὑπὲρ τὴν Θεομήτορα μὲν δύο βασιλεῖς, ὑπὲρ



Εἰκ. 10. Κάλυμμα Εὐαγγελίου χαλκοῦν.

τὸν Ἰωάννην δὲ τὸν Ἰωσήφ, Μαρίαν τοῦ Κλωπᾶ καὶ Μαρίαν τὴν Μαγδαληνήν. Ὑπὲρ αὐτοὺς δὲ εἰκονίζονται ἐντεῦθεν καὶ ἐκεῖθεν



Εἰκ. 11. Κάλυμμα Εὐαγγελίου χαλκοῦν.

106) Ο ΠΡ ΘΝ — COΦ HΑC

καὶ ΟΠΡ Φ ICΑ IΑC

δηλοῦντα· Ὁ προφήτης Σοφονίας
ὁ προφήτης Ἡσαΐας

καὶ ὑπεράνω ἐν μέσῳ τεσσάρων ἑκατέρωθεν ἀγγέλων ᾀδόντων


Αγιος Ἅγιος Ἅγιος Κυριος Cαβαωθ

ὁ Ἰησοῦς στέμμα βασιλέως φορῶν καὶ ἐν χερσὶ τὸ ἅγιον ποτήριον ἔχων, οὗτινος ἑκατέρωθεν

107) IC XC
ΗΝΕΑ ΔΗΑ
ΘΗ KV

ἅτινα ἀναγνωστέα· Ἰησοῦς Χριστὸς | Ἡ Νέα Δια|θήκη

Πρὸ τοῦ ἑστιατορίου δὲ κεῖνται δύο τέχνης ἐξαισίας θρόνοι ὧν ὁ μὲν ὀστρεοκόσμητος (εἰκ. 12).



Εἰκ. 12. Θρόνος ὀστρεοκόσμητος.

ὁ δὲ (εἰκ. 13) τορεύματα μόνον φέρει, ὄρθιος οὗτος καὶ ὑψηλὸς



Εἰκ. 13. Θρόνος τορευτός.

Καὶ ἐπιγραφὰς δέ, πλὴν ὅσων ἀνεγράψαμεν ἀνωτέρω, ἔχομεν ἐν τῇ μονῇ. Οὕτως ἐν τῷ ναῷ τῆς Ἀχειροποιήτου ἐπὶ τῆς εἰκόνος τοῦ Χριστοῦ τοῦ δρυφάκτου ἀναγιγνώσκεται αὕτη

108) δέσποτα Χ(ριστ)ε ἐλέησον την ποι|μνη σου |
Γεμαρνοῦ (1) μοναχοῦ

καὶ ἐπὶ τῆς εἰκόνος τῆς Θεοτόκου (αὐτόθι)

109) Παναγία Θ(εοτό)κε | βοήθησον | τοὺς δούλους σου | δημο

Ἐπὶ τῶν ἥλων τῆς αὐλείου θύρας

(1) Ἀνάγνωθι *Γερμανοῦ*.

110) 1811 1811
ιγουμενεδοντος Κοστάντιος

111) ιοανι 1811 Κρουσιδο
\+ νικολα
\+ πετρε

Ὑπὲρ τὴν θύραν τῆς εἰσόδου εἰς τὴν ἔσω αὐλὴν (χρώματι)

112) + Δέισις τῶν δούλων τοῦ Θ(εο)ῦ
Ϛουκανου Τζόρτζι 1775

Ὑπὲρ αὐτὴν χάραγμα τόδε

113) εν 1798 Ι. Χ(α)τζῆ παπα δανηηλ 1797
παπα Κοσμα
1811 βασιλι

Ἐπὶ τῆς ἐν τῇ ἔσω αὐλῇ μαρμαρίνης φιάλης δηλοῦσα τὸν χρόνον τῆς ἱδρύσεως αὐτῆς

114) 180Ӿ (= 1804)

Ἐν τῷ κατὰ τὸν ἄνω ὄροφον παρεκκλησίῳ τοῦ Προδρόμου

115) 1818 + διὰ συνδρομῆς καὶ ἐξόδων τοῦ πανοσιωτατου προηγουμένου κυρίου Χρυσάνθου κοσφοινιτζιώτου | καὶ δεήσεως αὐτοῦ πρὸς ὠφέλειαν ψυχῆς αὐτοῦ· ἐν μηνι μαρτιου κϛ

Αὐτόθι ἐπὶ τῆς εἰκόνος τοῦ Παντοκράτορος

116) ετη ᾳωιη + διὰ συνδρομῆς καὶ ἐξοδων τοῦ πανοσιωτατου προηγουμενου | κυριου Χρυσάνθου κοσφοινιτζιώτου Καὶ δεήσεως αὐτοῦ

Αὐτόθι ἐπὶ ἀναλογίου ὀστρεοκοσμήτου ἡ δι᾿ ὀστρέων ὡσαύτως ἐπιγραφὴ

117) + 1742 ἐν μη(νὶ) Μαρτιου εις τους Κ ΝΓουμενευοντος Παΐσιος ιερομο ναχος — Μαστορις ιωανου ιε ρεος εκ κομις Κλινοβός

Ἐν τῷ πρὸ τῆς βιβλιοθήκης παρεκκλησίῳ τοῦ Ἁγίου Νικολάου ἐπὶ τῆς εἰκόνος Ἰωάννου τοῦ Προδρόμου

118) Δέυεις τὸν δοῦλον᾽ τοῦ θεοῦ
Ἀλεξάντρας. Νηκολαου : αωιδ

Ἐν τῷ ναῷ τῶν Ἁγ. Ἀναργύρων τοῦ νεκροταφείου ὑπὲρ τὴν θύραν ἔσωθεν

+Ανιστορήθη ο θειοῦς καὶ πάνσεπτος ναὸς τῶν ἁγίων Ἀναργύρων Κωσμᾶ καὶ Δαμιανοῦ διὰ σηνδρο(μῆς) | τοῦ πανιερωτατου μ(ητ)ροπολιτου τῆς ἁγιοτάτης μ(ηητ)ροπόλεως Δραμας κυροῦ ιωακειμ | . . . . . (ζωγρα)|φος ἐγράφη ἐν ἔτι τοῦ Χ(ριστο)ῦ ͵ΑΧΜ


Ἐν τῇ βιβλιοθήκῃ ἀνάκειται ἡ ἐπὶ μαρμαρίνης πλακὸς κεχαραγμένης ἐπιγραφὴ ἥδε (βλ. πανομοιότυπον ἐπιγραφῆς ἐν σελ. 198).

119) +Στίχοι ἐις τὸν τάφον τοῦ κῦρ Ἀθανασιο(υ
πόιημα Θεοφ'ανους μ(ητ)ρ'οπολίτου Σερρ(ῶν
+ἐυσεβέιης ἱερον στόμα, εἶδ ἀρετῶν θειον κρα|μα
καὶ σοφίης τὸ καλὸν βάρβυτον Αθᾶνάσιον :
Μακεδονία ἐνθὲδε χειωνέει πορτητρόφος αία :
καλύπτει μισ'αον ποιμένα. φὲὺ Δραμα :
ε'τους ͵ΖΝϚ (μ. Χ. 1548) ινδ. Ϛ : ~


Ἀνάγνωθι δὲ τὸ ποίημα οὕτως·

Εὐσεβείης ἱερὸν στόμα ***ἠδ'*** ἀρετῶν θεῖον κρᾶμα
καὶ σοφί***ης*** τὸ καλὸν βάρβ***ι***τον (1) Ἀθανάσιον
Μακεδονία ἐνθάδε ***χιονέη*** (2) πορτ***ι***τρόφος αἶα
καλύπτει ***μυ***σάων ποιμένα· φεῦ Δράμα (3).

(1) Οὐδετέρου γένους παρὰ μεταγενεστέροις.
(2) Χιονοσκεπὴς συνήθως.
(3) Ἦτο πιθανῶς ὁ Ἀθανάσιος μητροπολίτης Δράμας.




Αὐτόθι ἐπὶ μαρμαρίνης πλακὸς



120) Ἀνεκαινίσθη ἡ πύλη τῆς θείας καὶ ἱερᾶς μονῆς καὶ Ϛ(αυ)ρωπ(ηγ)ΐακης κ'αι πατριαρχικης τῆς ἐπονομαζωμε νης Κουσϋνίτζου. δῖὰ σϋνδρομης κ'αι ἐξόδου καὶ κόπου του τημηότατου καὶ ἐυγενεστατου ἀρχωντος κϋρ Δουκα

τοῦ Σουρτζίτου ἐκ πόλεως Σερρῶν ηγουμενευοντος
του πανοσ΄ἰότατου αγιου καθηγγοῦμένου κῦρου Θεόκλητου
ἱἐρομοναχου
μαστωρευοντος δὲ του οσΐωτατου ἐν μοναχοῖς κῦρ Μελετ΄ἴου
ἐν έτη ἑπτάκους ἑκατοστῷ τριάκοστῷ ἑκτω (μ. Χ. 1628)
ἐν μηνὶ Σεπτεμβρίω· ἰνδικτι΄ώνος ια

Αὐτόθι ἐπὶ πλακὸς λιθίνης·



121) ἐπὶ πατρ)υαρχου
Αλ)εξάνδρου
του πο λί του
Ηγουμεν΄εδοντος
Κυρ Βισαρίου ἱερομοναχου ‡
ετος ,ΖΟΗ (μ. Χ. 1570)

Ἐν τῷ ἄνω ὀρόφῳ πρὸς δυσμὰς ἐπὶ λιθίνης πλακός·



122) + Ανακαινισθικα
ν δια σινδ̑ρομι(ς)
και εξοδ̑ου του πανι
ερυτάτου μ(ητ)ροπολ
υτου Δραμας κυ
ρου Ιωακημ ~ S
εν ετει ,ΖΞΓ ινδ̑ ΙΓ (μ. Χ. 1555)

Ἐν τῷ τοίχῳ τῆς καταβάσεως εἰς τὸ ἁγίασμα

123) . . . Ανεκενΐστητησαν
. . . Ἁγιὰς Β)αρβάρας ος κε πος (. . . .
τινων θόλος ἐ(πί

ἔτους ,ΖΡΛ... (μ. Χ. 1622)—
ἡγου)μενεύοντος Βενι(α
μιν. ἱερομονάχου· μάστο
ρις. Μελε'τῖος μοναχὸς +



Ἄξια μείζονος τῶν ἐπιγραφικῶν τούτων μνημείων λόγου εἶναι τὰ ἐν τῇ βιβλιοθήκῃ τῆς μονῆς ἀποκείμενα χειρόγραφα, περιέχοντα πλὴν ἐκκλησιαστικῶν λόγων σημαντικὰς εἰδήσεις ἀναφερομένας εἰς τὴν ἱστορίαν τὴν ρωμαϊκήν, τὴν βυζαντιακήν, τὴν τῆς τουρκοκρατίας καὶ τὸν ἄλλον τοῦ γένους βίον. Τούτων ἡμεῖς προχείρως ἀντεγράψαμέν τινα, ὡς διήγησιν περὶ τῆς διὰ θαύματος σωτηρίας τῆς Πόλεως ἀπὸ τῶν πολιορκησάντων αὐτὴν βαρβάρων (Ἀβάρων) καὶ Περσῶν, διήγησιν περὶ τοῦ «πῶς ἐχώρισαν οἱ Ἑλλατήνοι (Λατῖνοι) ἀπὸ τοὺς Ῥωμαίους· περὶ τῆς ἀποστασίας τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης», ἱστορίαν ἀπὸ κτίσεως κόσμου μέχρι τῆς βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ μετ' ἀναγραφῆς ἀξιολόγου τῶν χρόνων καὶ ἐκθέσεως περὶ τοῦ πῶς οἱ Βούλγαροι προσῆλθον εἰς τὸν χριστιανισμὸν διδαχθέντες ὑπό τινος ἐκ Κωνσταντινουπόλεως φιλοσόφου ζωγράφου, διήγησιν περὶ τοῦ παρὰ τὴν ἐν Κωνσταντινουπόλει Ἁγίαν Σοφίαν ***«Παραδείσου σοφίας»***, ὅστις, ὅμοιος πρὸς τὸ ἐν Ἀλεξανδρείᾳ Μουσεῖον, σοφῶν ἦτο ἐνδιαίτημα, ἱστορίαν «καὶ σύγγραμμα κῦρ Συμεὼν τοῦ μαγίστρου καὶ λογοθέτου περὶ τοῦ περικαλλοῦς ναοῦ τῆς τοῦ θεολόγου Σοφίας», ἥτις ἔχει μὲν ἱκανὰς διαφορὰς πρὸς τὴν ἤδη δημοσιευθεῖσαν, δηλοῖ δὲ ἀσφαλῶς πλέον ὅτι ὁ συγγραφεὺς τῆς ἱστορίας ταύτης εἶναι ὁ μάγιστρος καὶ λογοθέτης Συμεών. Ὡσαύτως δὲ *ἔκθεσιν* περὶ τῆς τάξεως τῶν μητροπόλεων, χρονογράφον τοῦ πατριάρχου Νικηφόρου διάφορον ἐν οὐκ ὀλίγοις πρὸς τὸν ἤδη δημοσιευθέντα καὶ βραχείας ἱστορικὰς εἰδήσεις διαφόρους ὅλως ἢ συμπληρούσας τὸ ***Βραχὺ Χρονικὸν*** (breve chronicum), ὧν τινα θέλομεν δημοσιεύσῃ ἐν τέλει τῆς ἐκθέσεως ταύτης.

ΝΙΚΗΣΙΑΝΗ

Ἀπὸ τῆς ἱερᾶς καὶ φιλοξένου μονῆς τῆς Ἀχειροποιήτου καταβαίνοντες πρὸς ἀνατολὰς ἐρχόμεθα εἰς τὴν Νικήσιανην, κώμην κατὰ τὰς ὑπωρείας τοῦ Παγγαίου. Ἐν αὐτῇ πλὴν λατινικῆς τινος ἐπιγραφῆς

124) Ae)LIO. VAL(erio
grat)ISS(imo) AN(norum)I
. . . .

κεχαραγμένης ἐπὶ τῆς μαρμαρίνης φλιᾶς τῆς Ὡραίας Πύλης τοῦ ἔξω τῆς κώμης πρὸς ἀνατολὰς ναοῦ, οὐδὲν ἄλλο εἰς ἀρχαιότητα λόγου ἄξιον ἔχομεν εἰ μὴ σκάφας λελαξευμένας ἐπὶ τοῦ βραχώδους ἐδάφους τοῦ ἀπὸ τοῦ ὄρους κατερχομένου χει-



Εἰκ. 14. Σκάφη ἐν τῷ χειμάρρῳ.

μάρρου χρησίμους, κατὰ τὴν σοφὴν γνώμην τοῦ συνεκδραμόντος μεθ' ἡμῶν καθηγητοῦ τῶν φυσικῶν ἐπιστημῶν κ. Παν. Κονδύλη, εἰς πλυντήρια τῶν ἀπὸ τοῦ Παγγαίου καταφερομένων μεταλλευμάτων, ὧν σωροὶ σκωρίας κεῖνται ἔτι παρὰ τοῦ χειμάρρου τὰς ὄχθας (ὅρα εἰκόνα 14).

ΠΡΑΒΙΟΝ

Ἀπὸ τῆς Νικήσιανης δέ, διερχόμενοι ὑπὸ τὸ Παλαιοχώριον, ἀφικνούμεθα εἰς Πράβιον, πολίχνην κατὰ τὴν ἀρχαίαν πόλιν Σύμβολον κειμένην. Ἐν αὐτῇ ἔχομεν ἐντὸς μὲν τῆς πόλεως ἐπὶ κρήνης ἔξωθεν τοῦ ἄλλοτε σχολείου τὴν ἐπιγραφὴν

125) Ἐν ἔτει 1807 Μαρτίου 2
Αδαμος..CPBȣ ΑΜΖΑ

ἧς ἡ δευτέρα σειρὰ ἀναγνωστέα «Ἀδάμος Σέρβου (Χ)άμζα»· ἐν τῷ ναῷ δὲ τοῦ μικρὸν ἔξω τῆς πολίχνης κατὰ τοὺς ἀγροὺς Ἁγίου Νικολάου ἐν τῇ αὐλῇ μέν, πλὴν δύο λατινικῶν ἐπιγραφῶν, ἐπὶ πλακὸς μὲν κεχαραγμένην τὴν ἐπιγραφήν·

126) Ενθα κυτε ὁ δȣλο(ς)
τȣ θ(εὸ)ς: Cοφιανος:
Προσκυ
νι τις οἰτα
κιοτις: 1800

Κατὰ τὴν κατάβασιν δὲ ὑπὸ τὸν ναὸν δεξιὰ ἐπὶ τοῦ τοίχου

127) .... τ)ελευτήν μου παρακαύσωσιν
... μοι παρεντα λιοις (1) λιαν δε
.... παρακαύσωσιν ποτε δωσσιν (2)
... οις κερδωΖΙΞΝΙ (3) ΠΡΟΞΤΙΜΟΧΞΙΝ (4)

ΚΑΒΑΛΛΑ

Ἐν τῇ Καβάλλᾳ δέ, τῇ ἀρχαίᾳ Νεαπόλει τῶν Δατηνῶν, ἔχομεν τὰ τείχη τῆς ἀκροπόλεως, τὸ ρωμαϊκῶν χρόνων ὑδραγωγεῖον καὶ ἐν τῇ ἐκκλησίᾳ τοῦ κάστρου ἐπὶ εἰκόνος

(1) Ἀνάγνωθι ***παρενταλίοις***. Εἶναι δὲ παρεντάλια (λατ. parentalia) τὰ γενέσια, νεκύσια, ἐναγισμός.
(2) Ἀναγν. ***δώσειν***.
(3) Ἀναγν. ***κερδίζωσιν***.
(4) Ἀναγν. ***προστιμῶσιν***.

128) Δεησις τοῦ δούλου τοῦ θεοῦ Σα
μουηλ καὶ τῆς σιζήγου αἰκατερίνης
προσ(κ)υνητοῦ 1821 χυρ Ι(ωάνν)ου

ΦΙΛΙΠΠΟΙ — ΔΡΑΜΑ

Κατὰ τὴν πρὸς τὴν Δράμαν δὲ ὁδὸν ἔχομεν πρὸ τῶν Φι-



Εἰκ. 15. Τεκελῆ Τάς.

λίππων ἐπὶ μονολίθου μεγάλου βάθρου, καλουμένου τουρκιστὶ «*Τεκελῆ Τάς*» (=ἐστημένος λίθος) (ὅρα εἰκ. 15) λατινικὴν ἐπιγραφὴν δηλοῦσαν ὅτι C. Vibius τὸ βάθρον ἔστησε τοῦτο, μι-

κρὸν δὲ περαιτέρω ναὸν εὐρὺν χριστιανικῶν χρόνων, (κοινῶς *«παλάτια τοῦ 'Αλεξάνδρου»*).

'Εν Δράμᾳ δὲ ἀναγιγνώσκομεν ἐπὶ μαρμαρίνης πλακὸς ἐν τῇ αὐλῇ τοῦ Διοικητηρίου τὴν ἐπιγραφὴν

129) Βαίβιον Οὐ|αλέριον Φίρμον |. τὸν
κράτιστον | ὁ δῆμος ἐκ τῶν | ἰδίων

ΠΡΟΣ ΤΗΝ ΠΕΛΛΑΝ

Βαίνοντες πρὸς δυσμὰς ἀπὸ τῆς Θεσσαλονίκης, (ὅπου ἐπανήλθομεν ἐκ Δράμας), εὐθὺς ὡς παρέλθωμεν παραπόταμόν τινα τοῦ 'Εχεδώρου, ἔχομεν δεξιὰ τῆς ὁδοῦ τύμβον ὑψηλὸν καὶ μετ' αὐτὸν κατὰ τὴν πορείαν ἡμῶν πρὸς τὴν ἀρχαίαν Πέλλαν (κατὰ τὸ ἐκεῖ σημερινὸν χωρίον 'Αποστόλους ὑπάρχει θέσις *Πέλλ'*) συναντῶμεν δέκα ἔτι τοιούτους τύμβους (*τούμπας* κοινῶς), ἐν ὅλῳ ἕνδεκα, ὧν ἐννέα μὲν πρὸ τῆς Πέλλας, δύο δὲ μετ' αὐτήν. Τούτων δ' ἐννέα μὲν κεῖνται δεξιὰ τῷ ἐκ Θεσσαλονίκης εἰς Πέλλαν ἐρχομένῳ τὴν 'Εγνατίαν ὁδόν, δύο δ' ἀριστερά. 'Ο ἕβδομος δ' ἐκ τούτων ὁ ὑπὸ τοὺς 'Αποστόλους, χθαμαλώτατος καὶ μικρὸς καὶ ὀλίγον δεξιὰ (τῷ πρὸς δυσμὰς βαίνοντι) ὑπὲρ τὴν ὁδόν, ἔχει ἀνασκαφῇ. Οὗτος, εἰς ὃν κατέρχεταί τις διὰ σφόδρα κεκλιμένης καταβάσεως, ὀρωρυγμένος ἐπὶ τοῦ ὑπὸ τὴν γῆν βράχου, ἔχει τρία περὶ κεντρικόν τι ὄρυγμα μικρότατα δωμάτια, ἐμφερῆς πολὺ πρὸς τοὺς ἐν Αἰγίνῃ τάφους καὶ μάλιστα πρὸς τὸν ὑπὸ τὴν ἀκρόπολιν τῆς ἐν Κύπρῳ 'Αμαθοῦντος.

ΚΑΡΥΩΤΙΣΣΑ

'Εκ Γεννιτζῶν δέ, ὅπου θέας ἄξιον εἶναι ῥωμαϊκὸν βαλανεῖον, βαίνοντες πρὸς δυσμὰς ἐρχόμεθα κλίνοντες ἀριστερὰ τῆς 'Εγνατίας ὁδοῦ εἰς τὸ χωρίον Καρυώτισσαν, οὗτινος πρὸ τοῦ ναοῦ τύμβοι χθαμαλοὶ συμπεφυρμένοι, ἐν τῷ ναῷ δὲ ἐπὶ ἀναλογίου μὲν ὀστρεοκοσμήτου (Εἰκ. 16) δι' ὀστρέων γεγραμμένη ἡ ἐπιγραφὴ

130) Ο ΚΙΠΠΡΙΑΝΟϹ ΤΟυ ΓЄ Ρ
ΓΙΟU ΤΟυ ϹΤΑΗΘυ
ЄΠΙ ЄΤΟυϹ ,ΖΡΙβ
ΘΑΥΑ ϹΗ

ἀναγνωστέα «ὁ Κυπριανὸς τοῦ Γεωργίου τοῦ Στάθη ἐπὶ ἔτους ΖΡΙΒ (μ. Χ. 1604), (χεὶρ) Θανάση».



Εἰκ. 16.

Ἐν τῷ αὐτῷ δὲ ναῷ ἐπὶ μαρμαρίνης πλακὸς ἡ ῥωμαϊκῶν χριστιανικῶν χρόνων (1) ἐπιγραφή, τέσσαρα ἐπιγράμματα εἰς ἡρωελεγεῖον ἔχουσα ἥδε· (βλ. πανομοιότ. ἐπιγραφῆς ἐν σελ. 209-210).

(1) Ὁ τύπος τῶν γραμμάτων καὶ τὰ ὀνόματα τῶν ὑπὸ τὴν πλάκα καλυφθέντων (Καστρίκιος, Τίτος, Κλαυδία καὶ ἅμα Μαρία) μαρτυροῦσι τοῦτο. Περὶ τῶν πρὸ τοῦ ναοῦ τύμβων λαλεῖ καὶ ἡ ἐπιγραφή.

131) α') Καστρίκιον με Φίλιππον ἐτύμβευσεν Τίτος υἱὸς
Εἰονίου πελάγους ἄγχι καταφθίμενον,
ὀστέα δ' ἐνθάδ' ἔνεικεν, ἐπεὶ γλυκὺ καὶ μετὰ μοῖραν
οὐχὶ μόνον ζωοῖς πάτριον ἔστ' ἔδαφος.

β') Ἡδαίαν(;) Εὐκλείας τὴν καὶ Μαρίαν με θ(ανοῦσαν;)
μητέρα τὴν ἰδίην υἱὸς ἔθαψε Τίτος
ὀκτωκαιδεκέτης λειφθεὶς νέος· ὀστᾶ δὲ πατρὸς
εἰσενέθηκεν ἐμοὶ Δυρραχίου κομίσας.
ἤχι Φίλιππον ἔθαψεν ἐμὸν πόσιν· ἀλλὰ τροφείων
μνησθεὶς ἀμφοτέροις τύμβον ἔχωσεν ἕνα.

γ') Ὃς τὸν ἐμὸν παρὰ τύμβον ἄγεις Τίτον ἴσθι(;) Φιλίππου
πατρὸς Ἐδεσσαῖον παῖδα με καὶ Μαρίας.

δ') Πατρὶς μέν μοι Ἔδεσσα τὸ δ' ὄνομα Κλαυδία Γραπτή,
κεῖμαι δ' ἐνθάδ' ἐγὼ σύνγαμος οὖσα Τίτου.

ΕΠΙΜΕΤΡΟΝ

ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΗΣ ΙΔΡΥΣΕΩΣ ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΝΑΟΥ ΤΗΣ ΑΓΙΑΣ ΣΟΦΙΑΣ

Τῆς διηγήσεως ταύτης ἱκαναὶ ἀπὸ τοῦ Lambecius (1655) καὶ Combefisius (1664) μέχρι τοῦ νῦν ἐγένοντο δημοσιεύσεις κατὰ τριάκοντα σχεδὸν κώδικας ἀποκειμένους ἐν βιβλιοθήκαις πόλεων τῆς Εὐρώπης, τοῦ Ἄθω, τοῦ Σινᾶ καὶ τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου τοῦ Παναγίου Τάφου. Εὑρόντες καὶ ἡμεῖς τοιαύτην ἐν τῇ βιβλιοθήκῃ τῆς μονῆς τῆς Κοσσυφηνείσης ἐν τέλει τοῦ ὑπ' ἀριθ. 209 χαρτῴου κώδικος, περιέχοντος λόγους διαφόρων πατέρων, δημοσιεύομεν ὧδε διὰ τὰς πολλὰς διαφορὰς πρὸς τὰς ἤδη δημοσιευθείσας, πρὸς τὴν ὑπὸ Th. Preger μάλιστα (Scriptores originum constantinopolitanarum. Fasciculus prior σελ. 74-108 ἐκδ. Teubner 1901). Σημαντικὸν δ' ἐν τούτῳ εἶναι ὅτι καὶ δι' αὐτοῦ βέβαιον γίγνεται ὅτι τῆς διηγήσεως συγγραφεὺς ἦν Συμεὼν ὁ μάγιστρος καὶ λογοθέτης. (Ὅρα Preger αὐτ. προλεγόμενα σελ. XV). Ὁ ἀντιγραφεὺς ἱκανῶς ἀμαθὴς ἔφθειρε πολλαχοῦ τὸ κείμενον, διωρθώσαμεν δ' αὐτό, ὅπου παρεφθείρετο ἡ ἔννοια, ὅπως καὶ τὰς δεινὰς ἀνορθογραφίας καὶ τὴν κακὴν στίξιν. Περιλαμβάνεται δὲ ἡ διήγησις, ἐλλείπουσα ἐν τέλει, ἐν σελίσι τοῦ κώδικος εἴκοσι καὶ δύο.

Χειρόγραφον (ἀρ. 209) περιέχον λόγους διαφόρων πατέρων. Ἐν τῷ τέλει αὐτοῦ.

«Ἱστορία καὶ σύγγραμμα κῦρ συμεὼν μαγίστρου καὶ λογοθέτου περὶ τοῦ περικαλλοῦς ναοῦ τῆς τοῦ Θ(εο)ῦ Λόγου Σοφίας.

Κωνσταντῖνος ὁ μέγας ἐβασίλευσεν ἔτη τριάκοντα καὶ τρία τῷ δὲ δωδεκάτῳ τῆς βασιλείας αὐτοῦ ἔκτισεν τὴν Κωνσταντινούπολιν καὶ τὴν μεγάλην τοῦ θ(εο)ῦ ἐκκλησίαν δρομικήν. ἐπὶ(1) δὲ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου στασιάσαντες οἱ ἀρειανοὶ κατέκαυσαν(2) τὴν στέγην τῆς μεγάλης ἐκκλησίας. ὁ δὲ ἁγιώτατος π(ατ)ριάρχης Νεκτάριος ἐκαθέζετο εἰς τὴν Ἁγίαν Εἰρήνην τὴν ἐπονομαζομένην Παλαιάν, ἣν καὶ αὐτὴν ᾠκοδόμησεν ὁ μέγας Κωνσταντῖνος. ἵστατο δὲ ἀσκέπαστος ἡ ἐκκλησία χρόνους δύο. μετὰ ταῦτα προσέταξεν ὁ μέγας Θεοδόσιος Ῥουφῖνον τὸν μάγιστρον αὐτοῦ καὶ ἐσκέπασε τὸν ναὸν διὰ κυλινδρικῶν(3)

(1) Τὸ χειρ. *ἀπό*.
(2) Τὸ χειρ. *κατέσκαψαν*.
(3) Τὸ χειρ. ἔχει *κυλῶν ἰδρικῶν*.

μαρμάρων, καὶ οὕτως ἐστέκετον τὸ αὐτὸ κτίσμα ἕως τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου. ἐβασίλευσεν δὲ ὁ αὐτὸς φιλόχριστος βασιλεὺς ἔτη. ἐν δὲ τῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ γέγονεν ἐμφύλιος πόλεμος· ἐν ἡμέρᾳ ἱπποδρομίου γέγονεν ἀμφιβολία ὑπό τε Ὑπατίου π(ατ)ρικίου καὶ δημάρχου μέρος πρασινῶν καὶ διαλεύκων καὶ ἀνῃρέθησαν χιλιάδες λε. ἐλυπήθη δὲ ὁ βασιλεὺς λύπην μεγάλην διὰ τὴν ἐξαίφνην γενομένην σφαγὴν τοῦ τοσούτου λαοῦ. ἀδημονοῦντος οὖν το⟨ῦ⟩ βασιλέως ἐνέβαλεν ὁ θ(εὸ)ς ἐν τῇ καρδίᾳ αὐτοῦ λογισμὸν ἀγαθὸν τ⟨ο⟩ιοῦτον, τοῦ ἀναγεῖραι ναόν, οἷος οὐκ ἐκτίσθη ἀπὸ ἀδὰμ μέχρι τὴν σήμερον | .

Ἔγραψε δὲ ὁ βασιλεὺς κατὰ πᾶσαν πόλιν καὶ χώραν τοῖς κριταῖς καὶ στρατηγοῖς καὶ σατράποις καὶ πᾶσι τοῖς μεγιστᾶσι καὶ φορολόγοις τοῖς ἐν πάσῃ τῇ οἰκουμένῃ, τοῦ ποιῆσαι πᾶσαν σπουδὴν καὶ ἔρευναν τοῦ ἀποστεῖλαι κίονας καλλίστους, συστεμμάτιά τε καὶ ἀμβάκια καὶ καγγελοθυρίδια καὶ πᾶσαν τὴν ὕλην τὴν πρέπουσαν καὶ ἁρμόζουσαν εἰς ναὸν ἐκλεκτὸν καὶ περίφανον. πάντες δὲ οἱ ἄρχοντες δεξάμενοι τὰς ἐπιστολὰς τοῦ βασιλέως ἐσπούδαζεν ἕκαστος ἐκ τοῦ θεραπεῦσαι τὸν βασιλέα. καὶ μετὰ πολλῆς ἐπιμελείας ἐρευνήσαντες εὗρον πολλὰ ἀπὸ παλαιῶν οἴκων τε καὶ λοετρῶν καὶ εἰδωλικῶν ναῶν καὶ συναγαγόντε(ς) αὐτὰ ἀπέστειλον τῷ βασιλεῖ ἐν Κωνσταντινουπόλει διὰ τῆς θαλάσσης μετὰ σχεδιῶν καὶ ἀπὸ τῶν μεγάλων ποταμῶν ἀπὸ πάντων τῶν θεμάτων, ἀνατολῆς τε καὶ δύσεως, βορρᾶ τε καὶ νότου. καὶ ἐκ τῆς μεγαλοπόλεως Ῥώμης ἀπεστάλησαν οἱ μεγάλοι κίονες οἱ ἐπονομαζόμενοι ρωμαῖοι ὑπὸ πρωτασηκρήτου (1) τινος Πλουτάρχου καὶ ἐπιστολογράφου μετὰ σχεδιῶν διὰ θαλάσσης (2), οὓς κίονας εἶχε τις γυνὴ χήρα ὀνόματι Μαρκία εἰς προῖκα αὐτῆς. καὶ ἵσταντο οὗτοι εἰς τὸν ναὸν ⟨Ἡλίου τῆς⟩ Ἡλιουπόλεως, τοῦ κτισθέντος ὑπὸ Αὐρηλιανοῦ βασιλέως Ῥώμης καὶ προδόσαντες αὐτὸν τοῖς Πέρσαις. τοὺς δὲ ὀκτὼ πρασίνους κίονας τοὺς ἀξιοθαυμάστους ἀπέστειλεν Κωνσταντῖνος ὁ στρατηγὸς αὐτοῦ ἀπὸ πόλεως Ἐφέσου λελατομημένους. ἡ δὲ

(1) Τὸ χειρ. *παρὰ συνγυρίτου.*

(2) Τὸ χειρ. *μετὰ σχεδίων ἐν τῇ θαλάσσῃ.*

προειρημένη Μαρκία ἡ ῥωμαία ἔγραψε τῷ βασιλεῖ οὕτως· ἀπέστειλά σοι, βασιλεῦ, κίονας η̅ ἰσοστάθμους, ἰσοπλάτους, ἰσομήκους ὑπὲρ ψυχ(ικ)ῆς μου σ(ωτη)ρίας. συν(ή)νεγκαν δὲ καὶ λοιποὺς κίονας τοὺς μὲν ἀπὸ Κυζίκου, τοὺς δὲ ἀπὸ Τρωάδος καὶ ἑτέρους ἀπὸ τῶν Κυκλάδων νήσ[σ]ων καὶ ἐκ πάσης τῆς ὑπ᾽ οὐρανὸν γῆς καὶ ἄλλους ἀπὸ Ῥώμης καὶ Κρήτης καὶ ἀπὸ τῆς Σάμου νήσ[σ]ου καὶ ἐκ τὴν Ῥόδον κολοσσόν. Καὶ ἁπλῶς εἰπεῖν ἐκ πασῶν τῶν νήσ[σ]ων. πᾶσαν δὲ τὴν ὕλην παρήγγειλεν ὁ βασιλεὺς διὰ θαλάσσης ὑπὸ σχεδιῶν(1) κομίζεσθαι. ὡς ἔοικε, τοῦτο[υ] λογισάμενος, ἵνα μὴ στενάζωσιν οἱ ἄλαλοι βόες, καὶ γένηται τὸ τοιοῦτον ἀπρόσδεκτον τῷ θε(ῷ). σεσώρευται δὲ πᾶσα ἡ ὕλη διὰ χρόνους ζς´´ τῷ δὲ δωδεκάτῳ· ἔτει τῆς βασιλείας αὐτοῦ τοῦ Ἰουστινιανοῦ τὸν προειρημένον ναὸν τὸν παρὰ τοῦ μεγάλου Κωνσταντίνου κτισθέντα(2) ὁ ἰουστινιανὸς ἐκ θεμελίων αὐτὸν κατέστρεψεν καὶ τὴν ὕλην πᾶσαν ἰδίως ἀπέθετο διὰ τὸ πολλὴν καὶ ἄπειρον ὕλην ἑτοιμᾶσαι αὐτόν. ἤρξατο δὲ ὁ βασιλεὺς ἀγοράζειν οἰκήματα ἐν τῷ τόπῳ, ἐν ᾧ τὸ κτίσμα ἔμελλεν ποιεῖν. ὁ βασιλεὺς δὲ οὔτε εἰς τὸν θρόνον αὐτοῦ ἐκαθέζετο οὔτε εἰς ὕπνον ἀπίει, ἀλλ᾽ ἔτι σπουδὴν καὶ ἐπιμέλειαν ἀπερχόμενος καθ᾽ ἑκάστην ὥραν καὶ θεωρῶν τοὺς τεχνίτας, τοὺς λιθοξόους καὶ λατόμους τῶν μαρμάρων καὶ τοὺς τέκτονας καὶ πάντας τοὺς οἰκοδόμους πολλὰ νουθετῶν καὶ παρακαλῶν εἰς τὸ σπουδὴν ποιῆσαι τοῦ ἔργου. ἔξωθεν τοῦ μισθοῦ αὐτῶν ἐδίδου αὐτοῖς ὁ βασιλεὺς [κατὰ] ἀνὰ δύο καὶ τρία νομίσματα(3) καὶ ἕτερα πολλὰ εὐηργέτει(4) | διὰ τὸ εἶναι αὐτοὺς προθύμους εἰς τὸ ἔργον. ἐρχόμενος δὲ ὁ βασιλεὺς εἰς τὸ ὁρᾶν τοὺς τεχνίτας καὶ τὸ ἔργον ἠμφιένετο στολὴν λευκὴν καὶ σουδάριον ἀμυδρὸν(5) καὶ ἐν τῇ χειρὶ αὐτοῦ κρατῶν ῥάβδον πτενὸν κόκκινον. ἀνεγείραντες(6) δὲ τὰς ἄνω ἀψῖδας ἐν ὑπερῴῳ τὰς μεγάλας ἐν ἡμέρᾳ σαββάτου κληρορεύσας ὁ βασιλεὺς πάν-

(1) Τὸ χειρ. *σχεδίων*.
(2) Τὸ χειρ. *ὁ προειρημένος ναὸς . . . ὁ κτισθείς*.
(3) Τὸ χειρ. *καὶ τριῶν νομισμάτων*.
(4) Τὸ χειρ. *ἐβεργέτα*.
(5) Τὸ χειρ. *ἄμυδρον*.
(6) Τὸ χειρ. *μὴ ἐγείραντος*.

τας τοὺς τεχνίτας καὶ ἐργάτας ⟨σὺν⟩ παντὶ τῷ λαῷ (1), ὁ δὲ πρῶτος τῶν μαΐστόρων κατέλιπε τὸν υἱὸν αὐτοῦ εἰς πάντα τὰ ἐργαλεῖα τὰ πρὸς οἰκοδομὴν ἐν τῷ δεξιῷ μέχρι τοῦ ὑπερῴου. ἦν δὲ ὁ παῖς ὡσεὶ χρόνων ιδ. Καθεζόμενος οὖν ὁ παῖς καὶ φυλάττων, ἐφάνη αὐτῷ εὐνοῦχος λαμπρὰν ἐσθῆτα ἠ⟨μ⟩φιεσμένος καὶ φοβερὸς τῇ ὄψει. παρηλλαγμένη οὖν ἡ ὄψις αὐτοῦ, καὶ πῦρ ἀστράπτον (2) ἐκ τοῦ προσώπου αὐτοῦ. Καὶ λέγει ὡς δῆθεν ἐκ τοῦ παλατίου ἦν ἐκπεμφθεὶς παρὰ τοῦ βασιλέως, καὶ λέγει πρὸς τὸν παῖδα (3), τίνος χάριν κατέλιπον τὸ ἔργον τοῦ θ(εο)ῦ οἱ τεχνῖται καὶ ἀπῆλθον ἐσθίειν καὶ πίνειν πρὸς ἀπληισ⟨τ⟩ίαν καὶ μέθην. ἀπεκρίθη ὁ παῖς, ἰδοὺ ταχέως ἐλεύσονται. ὁ δὲ πάλιν λέγει πρὸς τὸν παῖδα, πορεύθητι καὶ λάλησον αὐτοῖς, ἵνα ταχέως ἐλθόντες ἐργάζωνται τὸ ἔργον τοῦ θ(εο)ῦ, ἵνα μή τι κακὸν ποιήσω αὐτοῖς δι' αἰκισμῶν καὶ βασάνων. Καὶ τὰς παρειὰς αὐτῶν πυρὶ κατακαύσω· ἀπεσταλμένος γάρ εἰμι παρὰ τοῦ βασιλέως, ὅπως ταχέως τελειωθῇ τὸ ἔργον τοῦ θ(εο)ῦ, ἵνα μή τι κακὸν ποιήσω αὐτοῖς. ὁ δὲ παῖς μετὰ φόβου πρὸς αὐτὸν ἀπεκρίνατο, ὅτι πτοοῦμαι, κ(ύρι)ε μου, μήπως ἀπ⟨ελθὼν⟩ ἐργαλεῖον ἀπολεσθῇ τι. τότε ὁ εὐνοῦχος εἶπε πρὸς αὐτὸν | . ἄπελθε. Κἀγώ σοι ὀμνύω ὅτι μὰ τὴν Ἁγίαν Σοφίαν τὴν νῦν κτιζομένην, ἥτις ἐστὶν ὁ λόγος τοῦ Θ(εο)ῦ, δι' οὗ τὰ πάντα γέγονεν δι' αὐτοῦ καὶ τοῦ Πν(εύματο)ς αὐτοῦ τοῦ Ἁγίου οὐ μὴ ἀποχωρήσω τῶν ὧδε. διότι παρὰ τοῦ λόγου τοῦ ὑψίστου προσετάχθην προσμένειν καὶ φυλάσσειν τὰ ὧδε. καὶ οὐ δύναμαι ἀπελθεῖν ἀπὸ τῶν ὧδε, ἕως οὗ ὑποστρέψῃς. ἄπελθε οὖν, τέκνον, εἰς ὁδὸν εἰρήνης, κἀγὼ τὰ ὧδε καλῶς φυλάττω. Ταῦτα ἀκούσας ὁ παῖς δρομαῖος ἀπίει ἐν τῷ βασιλικῷ ἀρίστῳ. ἦσαν γὰρ ἐν τῷ οἰκητηρίῳ τοῦ Βαπτιστοῦ Ἰωάννου ὁ βασιλεὺς καὶ πάντες οἱ τεχνῖται καθήμενοι ἐν τῷ ἀρίστῳ (4). τὸν δὲ ἄγγελον κατέλιπεν ὁ παῖς ἐν τῷ ὑπερῴῳ κτίσματι. καὶ πάντα ἀφηγησάμενος ὁ π(αῖς) ⟨πρὸς⟩ τὸν π(ατέ)ρα αὐτοῦ ἀπήγγειλεν

(1) Ἐλλείπουσί τινα.
(2) Τὸ χειρ. *ἀστράπτων*.
(3) Τὸ χειρ. *πρὸς τὸν βασιλέα*.
(4) Τὸ χειρ. *ἐν τῇ ἀρίστῃ*.

ταῦτα ὁ π(ατ)ὴρ αὐτοῦ πρὸς τὸν βασιλέα. ἀπέστειλεν δὲ ὁ βασιλεὺς στρατοπεδάρχην εἰς τὸ ἅγιον κτίσμα, ὅπως [ε]ἴδῃ τίς ἐστιν ὁ λαλῶν ταῦτα. ὁ δὲ ἀπελθὼν μηδένα εὗρεν ἐκεῖσε. προσεκαλέσατο δὲ ὁ βασιλεὺς πάντας τοὺς εὐνούχους τοῦ παλατίου. καὶ ἐπεδείκνυεν αὐτοὺς τῷ παιδί, εἴ ἐστιν ἐξ αὐτῶν τις, ὃν ἑώρακεν ἐν τῷ κτίσματι. ὁ δὲ παῖς ἐβόησε πρὸς τὸν βασιλέα ὅτι τούτων μὲν οὐδεὶς ἐφάνη ἐκεῖσε. ἀλλ' οὐδὲ τῆς θεωρίας ἐκείνου ἐθεασάμην εὐνοῦχον ἐν τῷ κόσμῳ τούτῳ πώποτε. ἐκεῖνος γὰρ λευκοφόρος ὑπῆρχεν καὶ πρὸ προσώπου αὐτοῦ πῦρ ἐξαστράπτον(1) καὶ παρηλλαγμένη(2) ἡ ὅρασις αὐτοῦ. ἀκούσας δὲ ὁ βασιλεὺς τὰ ῥήματα ταῦτα ἐπέγνωκεν καὶ εἶπε· ἀληθῶς τὰ ῥήματα καὶ ὁ ὅρκος ἐκεῖνος ἁγίου ἐστὶν καὶ ἄγγελος κ(υρίο)υ ἦν ὁ ταῦτα λαλῶν. ἐβόησε δὲ πρὸς τὸν θεὸν λέγων· εὐχαριστῶ σοι, βασιλεῦ ἀόρατε, ὅτι ἐφανέρωσας ἡμῖν τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου. καὶ τὴν εὐδοκίαν σου καὶ τὴν μέριμναν, ἣν εἶχον ἐν τῇ ψυχῇ μου τὸ πῶς καλέσω τὸ ὄνομα τοῦ ναοῦ τοῦ νῦν κτιζομένου ἐπὶ τῷ(3) ὀνόματι, ἀπεκάλυψάς μοι διὰ τοῦ σοῦ ἀγγέλου ἁγίου. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ φύλακα αὐτὸν ἀπέστειλας τοῦ φυλάσσειν αὐτόν, ἕως τοῦ αἰῶνος. ἔκτοτε οὖν ἔλαβε τὴν προσηγορίαν τοῦ ὀνόματος ἡ Ἁγία Σοφία ἑρμηνευόμενον τουτέστιν ὁ λόγος τοῦ θ(εο)ῦ. σκοπιάσας αὐτὴν ὁ βασιλεύς, οὐκ εἴασε τὸν παῖδα ὑποστρέψαι ἐν τῷ ἁγίῳ κτίσματι μήπως ὁ ἄγγελος ὑποχωρήσῃ, ἀλλ' εἰς τὸ διηνεκὲς διαμένειν, καὶ φυλάσσειν τὸν ἅγιον οἶκον τοῦ θ(εο)ῦ κατὰ τὸν ὅρκον αὐτοῦ. Συνεβουλεύσατο οὖν ὁ βασιλεὺς τόν τε π(ατ)ριάρχην, ἐπισκόπους καὶ ποιμένας καὶ πᾶσαν τὴν σύγκλητον καὶ συνεβουλεύσαντο πάντες τῷ βασιλεῖ τοῦ μὴ ὑποστρέψαι τὸν παῖδα ἐν τῷ κτίσματι, ἵνα μὴ ⟨ὁ⟩ ἄγγελος κ(υρίο)υ ὑποχωρήσῃ, ἀλλὰ καθὼς εἶπεν ὅτι προσετάχθην τοῦ φυλάττειν ἕως τέλος τοῦ κόσμου, καὶ διαμένειν ἕως τῆς συντελείας τοῦ κόσμου. ἔσται δὲ ἡ κατοίκησις τοῦ ἁγίου ἀγγέλου φύλακος τῆς μεγάλης τοῦ θ(εο)ῦ ἐκκλησίας ἐν τῷ δεξιῷ μέρει τοῦ πινσοῦ

(1) Τὸ χειρ. *ἐξαστάπτων*.
(2) Τὸ χειρ. *παρειλαμμένη*.
(3) Ἐπὶ *τίνι* ὀνόματι.

τῆς ἄνω ἀψῖδος τῆς μεγάλης τῆς ἀνερχομένης ἐπὶ | τὸν τροῦλλον τὸν μέγαν. ὁ δὲ βασιλεὺς ἀξιώμασιν καὶ δωρεαῖς (1) πλουτίσας τὸν παῖδα ἀπέστειλεν αὐτὸν μετὰ βουλῆς τοῦ π(ατ)ρ(ὸ)ς αὐτοῦ ἐν μιᾷ τῶν Κυκλάδων νήσων εἰς ἐξορίαν. φθασάντων δὲ τῶν οἰκοδόμων εἰς τὰ δεύτερα ὑπερῷα καὶ ἐγειράντων τοὺς ἐπάνω κίονας καὶ τὰς ἐνεκεῖ καμάρας, καὶ σκεπασάντων (2) τὰ πέριξ (3) πάντα ἐξέλιπεν τὸ χρυσίον τοῦ παλατίου. Καὶ ἐν πολλῇ ἀθυμίᾳ καὶ θλίψει ὑπῆρχεν ὁ βασιλεύς. ἱσταμένου δὲ αὐτοῦ εἰς τὰ ὑπερῷα τῆς ἀνωτάτης βαθμίδος (4) καὶ θεωρῶν τοὺς τεχνίτας· ἔμελλον γὰρ τὴν ἡμέραν ἐκείνην ἐγεῖραι τὸν μέγαν τροῦλ(λ)ον. ἦν δὲ ἡμέρα σαββάτου καὶ ἠσχάλετο (5) τί διαπρᾶξαι ἐπὶ τοῦ χρυσίου. ἐν ὕπνῳ ἀναπεσὼν ὁ βασιλεὺς ἐφάνη αὐτῷ εὐνοῦχος λευκοφόρος καὶ λαμπρότερος τοῦ ἡλίου καὶ λέγει πρὸς τὸν βασιλέα· τί λυπεῖσαι, δέσποτά μου ἅγιε; ὁ δὲ βασιλεὺς ἀπεκρίθη· τὸ χρυσίον τοῦ παλατίου ἐξέλιπε. καὶ τούτου χάριν ἀδημονῶ ὅτι οὐκ ἔχω τίνα δώσω τοῖς τεχνίταις μισθὸν αὐτοῦ. ὁ δὲ λαμπροφόρος ἐκεῖνος ἀπεκρίθη μετὰ περιχαρίας τῷ βασιλεῖ· μὴ λοιποῦ περὶ τούτου καὶ μὴ ἀδημονῇς. ἀλλὰ αὔριον ταχὺ ἀπόστειλον ἐκ τῶν μεγιστάνων σου τῶν πιστῶν καὶ λοιποὺς ὅσους κελεύεις· ἐγὼ γὰρ μένω[ν] ἐν τῇ Χρυσέᾳ Πόρτᾳ καὶ δανείσω σου χρυσίον χαράγματος καὶ ὑπὲρ χαρίσματος ὅσον θέλεις. ὁ δὲ βασιλεὺς ὡς ἐν ἐκστάσει γενόμενος ἐπελάθετο ἐρωτῆσαι αὐτὸν τίς ἐστι καὶ πόθεν. τῇ δὲ ἐπαύριον κατὰ τὸν λόγον αὐτοῦ ἀπέστειλεν ὁ βασιλεὺς τὸν κοιαίστορα Βασιλίδην καὶ τὸν ὕπαρχον Θεόδωρον τὸν π(ατ)ρίκιον Καὶ τὸν Στρατήγιον (6) καὶ ὑπηρέτας Υ̅ καὶ τετράποδα ὑποζύγια κ μετὰ ζυγίων, βουλγίδων. καὶ ἐξελθόντες τὴν Χρυσέαν Πόρταν εὗρον ἐκεῖσε εὐνοῦχον, ἡλίου μορφὴν ἔχοντα καὶ τὸ ἔνδυμα αὐτοῦ ἐξαστράπτον (7), ἐφ' ἵππον (8) πύρινον καθήμενον. καὶ

(1) Τὸ χειρ. **δωρεῶν**. (2) Τὸ χειρ. **σκεπάσαντες**.

(3) Τὸ χειρ. **ἐξαπτέρυγα**. (4) Τὸ χειρ. **εὐθμίδος**.

(5) Ἐποιήσατο πιθανῶς χρῆσιν μέσου τύπου τοῦ ἀσχάλω. Τὸ χειρόγραφον **ἠδολέσχετο**.

(6) Τὸ χειρ. **τὸν στρατηγὸν αὐτοῦ**.

(7) Τὸ χειρ. **ἐξαστράπτων**.

(8) Τὸ χειρ. **ἐφίππον**.

λαβὼν αὐτοὺς ὁ εὐνοῦχος ἤγαγεν αὐτοὺς ἐν τῷ τριβουναλίῳ (1). ἐφάνησαν δὲ αὐτοῖς παλάτια χρυσόροφα καὶ τρικλίνες κεκοσμημένοι. ἀποκαταβάντων αὐτῶν τῶν ἵππων ἀνέβασεν αὐτοὺς ὁ εὐνοῦχος εἰς κλίμακα χρυσόροφον καὶ λίαν θαυμασίαν. καὶ ἐκβαλὼν χρυσὸν κλυδίον ἀνέωξεν κουβούκλιον χρυσόροφον, κείμενον εἰς ἔδαφος, χρυσίου χαράγματος καθαροῦ (2) γέμον. Καὶ λαβὼν ὁ εὐνοῦχος πτῦον ἔβαλεν ἐφ' ἕνα ἕκαστον (3) βουλγίδιον ἀνὰ τεσσάρων κεντηναρίων. καὶ ἐγέμισε (4) τὰ η βουλγήδια ὁμοῦ γενόμενα Π. λύτρες σπ. φορτώσας δὲ τὰ ζῶα ἀπέστειλεν αὐτοὺς εἰπὼν (5) ταῦτα· δόσατε τῷ βασιλεῖ Ἰουστινιανῷ εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ τοῦ λόγου τοῦ θ(εο)ῦ τῆς Ἁγίας Σοφίας. καὶ σφαλισάμενος [αὐτὰ] ἔμπροσθεν αὐτῶν τὸ κουβούκλιον, ὅθεν δέδωκεν αὐτοῖς τὸ χρυσίον, εἶπεν αὐτοῖς· ὑπάγετε ἐν εἰρήνῃ. ἀπελθόντων δὲ καὶ ἰδὼν ὁ βασιλεὺς ἐξεπλάγη καὶ μεγά[λ]λως θαυμάσας, ἐν ποίῳ τρόπῳ εἰσήλθατε, ἠρώτησεν αὐτούς, καὶ τίς ἐστιν ὁ εὐνοῦχος, ὅτι τὴν τόσην δωρεὰν τοῦ θ(εο)ῦ παρέσχεν ἡμῖν. οἱ δὲ ἀπή|γγειλαν αὐτῷ τὸν τόπον τῶν οἰκημάτων, τούς τε τρικλίνους καὶ τὰ κουβούκλια, τήν τε χρυσῆν κλίμακα καὶ περὶ τοῦ κλειδὸς τοῦ λαμπροτάτου καὶ ὅτι χρυσίον εἶχεν χάραγμα τι ἐν τῷ ἐδάφει τοῦ κουβουκλίου πλῆθος ἄπειρον ἐκ καθαροῦ χρυσίου. προσδοκῶν ὁ βασιλεὺς τῇ ἐπαύριον ἐπανελθὼν τὸν εὐνοῦχον εὑρεῖν, ὅπως ταῖς πρεπούσαις τιμαῖς καὶ ἀξιώμασιν αὐτὸν ἀνταμείψηται, αὐτὸς δὲ οὐδαμῶς ἐφάνη. Ὡς οὖν εἶδεν ὁ χριστιανώτατος βασιλεὺς ὅτι ἐχρόνισεν, ἀπέστειλεν τὸν αὐτοῦ ἀκόλουθον καὶ ἑτέρους ἄρχοντας. ἀπελθόντες δὲ ἐπὶ τὸν τόπον οὐδὲν εὗρον, ἀλλ' οὐδὲ ἴχνος οἰκίας, ἀλλὰ πάντα ἀόρατα (6). ἐγνώρισε δὲ τῷ βασιλεῖ (7) ταῦτα. ἐκπλαγεὶς δὲ ὁ βασιλεὺς ἐπὶ τῷ παραδόξῳ θεάματι ἔδωκε δόξαν τῷ θ(ε)ῷ καὶ εἶπεν· νῦν ἔγνων ὅτι ἀπέστειλεν ὁ θ(εὸ)ς τὸν ἄγγελον αὐτοῦ,

(1) Τὸ χειρ. *τριβουκλίνῳ*.
(2) Τὸ χειρ. *χρυσοῦν... καθαρά*.
(3) Τὸ χειρ. *ἑκάστου*.
(4) Τὸ χειρ. κεντηναρίων γεμήσῃ.
(5) Τὸ χειρ. *εἶπε*.
(6) Τὸ χειρ. *ἄωρα*.
(7) Τὸ χειρ. *ὁ βασιλεύς*.

καὶ ὡς ἠθέλησεν ἐχαρίσατο ἡμῖν τοσαύτην δωρεὰν τοῦ θεοχαράκτου χρυσίου. Οὕτως(1) ὁ θ(εὸ)ς θαυμαστὸς ἐν τοῖς ἔργοις(2) αὐτοῦ. ἐν δὲ τῷ μέλλειν τὸν μέγαν τεχνίτην ἐγείρειν τὸ μονοκάμαρον, καὶ πάλιν μεταμεληθεὶς εἶπεν ὁ βασιλεύς· πρέπει ἵνα γένηται δικάμαρος, ὅπως μὴ δέξηται πολὺ[ν] βάρος. διότι ἐκεῖ κιόνια οὐκ ἔθετο, ὥσπερ ἔθεντο ἐν τῷ νάρθηκι καὶ ἐν ταῖς πλευραῖς τοῦ ναοῦ. οἱ δὲ λοιποὶ τῶν τεχνιτῶν τοῦ πλήθους λεγόντων ὅτι μία καμάρα αὐταρκεῖ(3) φωτίζειν ὅλον τὸν ναόν. | ὁ δὲ πρωτομάστωρ ἀδημονῶν(4) ὅτι εἶπεν ὁ βασιλεὺς γενέσθαι μίαν θυρίδαν, ἄλλοτε πάλιν δύο, οὐκ εἶχεν περὶ τούτου τί πρᾶξαι καὶ ἦν ἐν πολλῇ ἀθυμίᾳ. ἐν ἡμέρᾳ Δ ὥρᾳ Γ ἐφάνη αὐτῷ ἄγγελος κ(υρίο)υ ἐν ὀνόματι τοῦ βασιλέως, ἐσθῆτα βασιλικὴν ἠμφιεσμένος καὶ στέφανον φορῶν εἰς τὴν κεφαλὴν αὐτοῦ καὶ ῥάβδον βασιλικὴν κατέχων ἐν τῇ χειρί. Καὶ λέγει πρὸς τὸν μάστορα τὸν πρῶτον· θέλω(5) ἵνα ποιήσῃς τὴν κοίλην τοῦ ἁγίου βήματος τρίφωτον, διὰ τριῶν καμαρῶν καὶ τριῶν στοῶν εἰς τύπον καὶ ὄνομα τῆς ἁγίας τριάδος, πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος. ταῦτα εἰπὼν ὁ ἄγγελος ἀφανὴς ἐγένετο ἀπ᾽ αὐτοῦ(6). καταπλαγεὶς δὲ ὁ μαΐστωρ ὑπάγει πρὸς τὸν βασιλέα καὶ ἀντιλέγων αὐτῷ στερεῶς(7) ὅτι, δέσποτά μου βασιλεῦ, οὐκ ἔχεις ἕνα λόγον. πρῶτον μὲν προσέταξας γενέσθαι μίαν θυρίδαν, πάλιν δεύτερον εἶπες δύο, καὶ ὅτε(8) ταῦτα ἠρξάμην, ἄρτι παρέστης(9) μοι καὶ λέγει⟨ς⟩ ὅτι τρεῖς θυρίδας ποιήσω τῷ ἁγίῳ βήματι, εἰς ὄνομα π(ατ)ρ(ὸ)ς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πν(εύματο)ς. ταῦτα ἀκούσας ὁ βασιλεὺς εἶπεν πρὸς τὸν μαΐστοριν· πίστευσον, ἀδελφέ, ἐν τῇ χάριτι τοῦ Χ(ριστο)ῦ οὐκ ἐξῆλθον ἐκ τοῦ παλατίου τὴν ὥραν

(1) Τὸ χειρ. *οὗτος*.
(2) Τὸ χειρ. *ἁγίοις*.
(3) Τὸ χειρ. *εὐταρκεῖ*.
(4) Τὸ χειρ. *εἰδημόνως*.
(5) Τὸ χειρ. *θέλεις*.
(6) Τὸ χειρ. *ἀπ᾽ αὐτῶν*.
(7) Τὸ χειρ. *σταυροειδῶς*
(8) Τὸ χειρ. *ὅτι*.
(9) Τὸ χειρ. *ἀρτήκιος παρευτής*.

καὶ τὴν ἡμέραν, ἥν μοι λέγεις. ἀλλὰ ἀμφότεροι δοξάσωμεν τὸν θ(εὸ)ν καὶ γίνωσκε ἀληθῶς ὅτι ἄγγελος κ(υρίο)υ ἦν ὁ ταῦτα λαλῶν. καί, ὡς προσέταξέν σοι ποίησον. ἐποίησε δὲ κατὰ τὸν λόγον τοῦ ἀγγέλου θυρίδας τρεῖς ἀπέστειλεν δὲ ὁ βασιλεύς. Τρώϊλον σπαθοκουβικουλάριον (1) Καὶ Θεόδωρον ἔπαρχον καὶ Βασιλίδην κοιαίστοραν ἐν τῇ νήσῳ τῆς Ῥόδου καὶ ἐποίησαν ἐκεῖσε βήσαλα μεγάλα τοῦ πηλοῦ τῆς νήσου ἰσόμηκα, ἰσόσταθμα, μεγάλα λίαν. ἐπέγραφον δὲ ταῦτα μετὰ σφραγῖδος οὕτως· ὁ θ(εὸ)ς ἐν μέσῳ αὐτῶν καὶ οὐ σαλευθήσεται. βοηθήσει αὐτῇ ὁ θ(εὸ)ς τὸ πρὸ (2) πρωΐ πρωΐ. ὁ δὲ σταθμὸς τῶν βησάλων ἰσόσταθμα μετὰ ἡμετέρου ἑνὸς βησαλίου, διὰ τὸ εἶναι τὸν πηλὸν ἐκεῖνον ἐλαφρὸν πάνυ καὶ σφογγοειδῆ καὶ λευκοειδῆ καὶ κοῦφον. ἀπεκόμισαν δὲ αὐτὸν μετὰ τὸ συμπληρῶσαι τὰ(ς) δ̄ μεγάλας καμάρας τοῦ τρούλλου. ἐτίθεντο δὲ οἱ βύνσαλοι ⟨καὶ⟩ μεταξὺ αὐτῶν εἰς τὰ δίκουφα (3) ἐτίθεντο λείψανα διαφόρων καὶ μεγάλων ἁγίων. ἕως οὗ ἐτελειώθη. μετὰ δὲ τὸ συμπληρῶσαι αὐτὰς διὰ παντὸς ἐκ χρυσίου καθαρωτάτου καὶ πληρώσαντες τὰς καλὰς καὶ λαμπρὰς ὀρθομαρμαρώσεις κατεχρύσωσαν ἅπαντα τὰ περικεφάλαια τῶν κιόνων καὶ πάντας τοὺς κοσμήτας. τό τε διόροφον καὶ τριόροφον διὰ χρυσίου καθαρωτάτου ἐτίθει. τὸ δὲ σύμπαχον (4) τοῦ χρυσώματος δακτύλους δύο. τούς τε διορόφους καὶ τριορόφους ἐπὶ πλησίον καὶ μέσον τοῦ ναοῦ (5) καὶ ἐπὶ τὸ πλάγιον (6) τῶν τεσσάρων ναρθήκων τὰς καμάρας κατεχρύσωσεν ἐξ ὑελίνου χρυσίου ἅπαντα. τουτέστιν μωσέου λαμπροτάτου. καὶ τὰ ὑποπτέρυγα τοῦ ναοῦ καὶ μέχρι τῶν προαυλίων καὶ τοὺς κίονας τῶν | προοιμίων καὶ τὰς ὀρθομαρμαρώσεις χρυσίῳ κατεκόσμησε. Κατέστρωσε δὲ καὶ τὸ ἔδαφος ὅλον τοῦ ναοῦ διὰ ποικίλων καὶ πολυτίμων μαρμάρων διαγλύψας καὶ στιλδώσας αὐτά, τὰ δὲ πλάγια καὶ τὰ πέριξ πάντα κατέστρωσεν διὰ λευκῶν λίθων μεγίστων πολυτελῶν. Τὸ δὲ τοῦ ἁγίου θυσιαστηρίου [τὸ] ἔδαφος κατέστρωσεν διάχρυσον ἀργυ-

(1) Τὸ χειρ. *σπαθοκουκούκλιον*. (2) Τὸ χειρ. τὸ *πόρ*.

(3) Ἐν τῇ ἐκδόσει Preger σελ. 92, 15 φέρεται· «ἐποίουν οἱ κτίσται κατὰ δώδεκα βήσαλα ὀπήν, ἐμβάλλοντες ταῖς ὀπαῖς τίμια καὶ ἅγια λείψανα κλπ.».

(4) Τὸ χειρ. *σύμπαλον*. (5) Τὸ χειρ. *μέσον αῖτου*. (6) Τὸ χειρ. *τὸ ἐπιπλάγιον*.

ρίου λαμπροτάτου. Τὰ δὲ στήθεα γύρωθεν ἅπαντα, τούς τε κίονας ἐπάνω τῆς ἁγίας τραπέζης καὶ τὸ κιβώριον ἐπάνω τῶν κιόνων καὶ τοὺς γύρωθεν κίονας ἅπαντας ἀργύρῳ κατεκάλυψεν. τὰς δὲ πύλας πάσας αὐτὰς ἀργυρίῳ κατεσκεύασεν χρυσώσας αὐτάς. τὰ δὲ συστεμμάτια τῶν πυλῶν ἐχρύσωσε καὶ αὐτά.

Ὁ δὲ βασιλεὺς καὶ ὁ πρωτομαΐστωρ ἐθεώρουν, ὡς ὅτι ἄγγελος κ(υρίο)υ παρειστήκει. καὶ ἐπίασαν καὶ ἐχώνευσαν χρυσίον ἐν τῷ χωνευτηρίῳ καὶ ἄργυρον καὶ μόλυβδον καὶ κρύσταλλον καὶ παμποίκιλλα βότανα, καὶ ἔχυσαν(1) ταῦτα οἱ τεχνῖται ἐκ τοῦ πυρὸς εἰς τύπον καὶ ἐγένετο ἡ ἁγία καὶ μεγάλη τράπεζα ὡραία. Καὶ παμποίκιλος καὶ πανθαύμαστος καὶ ἀκατανόητος. ἄγγελος δὲ κ(υρίο)υ ὑπέδειξε τῷ βασιλεῖ τὴν πᾶσαν διαμέτρησιν τοῦ ναοῦ. ὑπῆρχεν ὁ πρῶτος τῶν οἰκοδόμων μηχανικὸς εἰς τὸ ἐγεῖραι ναοὺς καὶ πλήρης φρονήσεως καὶ(2) ἐπιτηδειότητος, ὥστε τὸν φλοιὸν(3) τῶν ἰτεῶν καὶ τὴν κριθὴν ἐψήνων εἰς λέβητας(4) | Καὶ τὸν χυλὸν αὐτοῦ ἔσμειγον εἰς τὴν ἄσβεστον τοῦ ὀστράκου διὰ τὸ γλύσχρος, μυξώδης τε καὶ κολλητικός(5) ⟨εἶναι⟩. ἐποίησεν τὰς μάζας τετραγώνους ἐκ πηχῶν πεντήκοντα τὸ μῆκος καὶ τὸ πλάτος καὶ οὔτε θερμὸν ἐπετίθουν τὸ μάλαγμα οὔτε πάλιν χλιαρόν, διὰ τὸ εἶναι κολλητικὸν καὶ ἐπάνω ⟨εἰς⟩ τὰς μάζας ἐτίθουν λίθους παμμεγέθεις ἰσοπλάτους καὶ ἰσομήκους. καὶ ἦν ἰδεῖν αὐτοὺς τότε καὶ τῷ βασιλεῖ. τοῦ δὲ πρὸς ἄρκτον(6) μέρους τοῦ γυναικείου καὶ μέχρι τοῦ Ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ ὑπῆρχον οἰκήματα Ξενοφῶντου τινὸς εὐνούχου βασιλικοῦ, ὅστις ἔλεγε τῷ βασιλεῖ ὅτι κἂν τριπλοῦν τίμημα δώσῃς μοι οὐ λαμβάνω τι ἀπὸ σοῦ εἰ μὴ(7) τοῦτο ποιήσεις μοι. ἡνίκα ἱπποδρόμιον γένηται, ἵνα τιμῶμαι καὶ προσκυνοῦμαι(8) ὑπὸ τῶν τεσσάρων ἡνιόχων. Καὶ ἐκέλευσεν

(1) Τὸ χειρ. *ἔχουσαν*.
(2) Τὸ χειρ. *ἐν*.
(3) Τὸ χειρ. τὸν *φλοῦν*.
(4) Τὸ χειρ. *ἐν λέβητας*.
(5) Τὸ χειρ. *γλόχρος, μυξώδησε καὶ καλυτικός*.
(6) Τὸ χειρ. *τοῦ δὲ ἄρκτου*.
(7) Τὸ χειρ. *ἀπὸ σοῦ οἶμοι*.
(8) Τὸ χειρ. *ἵνα τιμῶμεν καὶ προσκυνοῦμεν*.

ὁ βασιλεὺς τοῦτο, εἰς τοὺς διηνεκεῖς χρόνους τὸν τοιοῦτον πρὸς γέλωτα προσκυνοῦντες ἐν ἡμέρᾳ ἱπποδρομίου ἀμφιέννυνται(1) χλαμύδα λευκὴν καὶ πε(ρι)έχουσα(ν) παντὸς μικύρας πάνας καὶ κόκκινας καὶ πρασίνας. Καὶ πάντας ἠμφιεσμένος ὅπως καθέζηται ἐν μέσῳ τῶν ἀγγέλων καὶ τὰ ὄπισθεν αὐτοῦ προσκυνοῦσιν οἱ τέσσαροι ἡνίοχοι(2) τῶν ἁρμάτων πρὸ τοῦ ἀναβῆναι αὐτούς. τετύπωται δὲ καὶ μέχρι τῆς σήμερον λέγεται(3) ἄρχων τῶν καταχθονίων. |

Βουλόμενος δὲ ὁ βασιλεὺς κατασκευάσαι τὴν ἁγίαν τράπεζαν, ὡς εἴπομεν ὄπισθεν, λαβὼν καὶ βαλὼν εἰς τὸ χωνευτήριον χρυσίον τε καὶ ἀργύριον, ἤλεκτρον, χαλκὸν(4) καὶ σίδερον, ὑελίον καὶ λίθους τιμίους, ὑάκινθας καὶ σμάραγδας, μαργαρίτας καὶ μαγνίτας, ὀνύχια, κίσσηριν(5) καὶ κασ(σ)ίτερον καὶ μόλυβδον, κρύσταλον καὶ ἀδάμαντα, ἴασπ[ε]ιν καὶ σάπφειρον καὶ ἄλλα πλείονα τούτων μέχρι τῶν οβ καὶ τρίψας αὐτὰ ὁμοῦ καὶ ἐμβαλὼν εἰς τὸ χωνευτήριον καὶ ἀναμιξάμενος ταῦτα εἰς τὸ πῦρ ἐχώνευσε. Καὶ οὕτως καταπήξας αὐτὴν γύρωθεν κατεχρύσωσεν χρυσίῳ καὶ μαργάρῳ καὶ λίθῳ πολυτελεῖ. καὶ ἔθηκε αὐτὴν ἐπάνω τῶν ιβ κιόνων τῶν ἀργυρῶν κεχρυσωμένων. Τὸ δὲ θαλάσσιον τὸ ὑποκάτω τῆς ἁγίας τραπέζης καὶ τὰ γύρωθεν πάντα καὶ τὰς βαθμῖδας, ἐν αἷς(6) ὁ ἀρχιεπίσκοπος καὶ πάντες οἱ ἱερεῖς ἐστέκοντο, ἐξ ἀργυρίου πεποίηκεν. ποῖος δὲ νοῦς ἀν(θρώπ)ινος δυνήσεται κατανοῆσαι τὸ εἶδος τῆς ἁγίας τραπέζης; διότι πολλὰς χρόας καὶ στιλβότητας ἐναλλάσσων ἐν τῇ ὁράσει αὐτῆς καὶ φοβερὰ καὶ ἀνεκδιήγητος ἐστί, καὶ πότε μὲν χρυσίζουσα, καὶ εἰς ἕτερον ἐξαστράπτουσα[ν], ἐν ἄλλῳ δὲ τόπῳ πολλὰ σαπφυρίζουσα [καὶ εἰς ἕτερον ἐξαστράπτουσαν], ἐν ἄλλῳ δὲ τόπῳ βύσσον καὶ πορφύρας ἀκτῖνα[ν] ἀποπέμπουσα δίκην ἡλίου τὸ εἶδος αὐτῆς τῇ ποικιλίᾳ | τῶν χρωμάτων ἐναλλάσσον καὶ κυματίζον. καὶ

(1) Τὸ χειρ. *ἐμφιέννυνται*.
(2) Τὸ χειρ. *οἰνίοχοι*.
(3) Τὸ χειρ. *ὡς λέγεται*.
(4) Τὸ χειρ. *ἴλεκτόν, χαλκοῦν*.
(5) Τὸ χειρ. *καὶ συρήκων*.
(6) Τὸ χειρ. *ἅς*.

ἁπλῶς εἰπεῖν τὸ ἔργον ἀμίμητον καὶ νοῆσαι ⟨καὶ⟩ καταλαβεῖν ἀπὸ τῶν οβ' τῶν ἐκεῖσε χωνευθέντων οὐ δυνήσεται. Ἐποίησε δὲ καὶ πυλῶνας ἐξ ἐλεφαντίνων γλυπτῶν κεχρυσωμένας τξε κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν. ἐν δὲ τῷ προεισόδῳ τοῦ λουτῆρος καὶ ἐν τῷ πρώτῳ νάρθηκι ἐποίησεν πύλας ὡραίους πάνυ ἐκ τῶν τῆς κιβωτοῦ ξύλων. ἐβούλετο δὲ ὁ βασιλεὺς πάσας τὰς πύλας ἀργυρίῳ κατασκευάσαι καὶ κατακοσμῆσαι λίθῳ καὶ μαργάρῳ πολυτελεῖ. οὐ μόνον δὲ αὐταῖς ἀλλὰ καὶ τὸ ἔδαφος τοῦ ναοῦ, καὶ ἀνέκοψαν τὸν λογισμὸν αὐτοῦ τινες ἀστρολόγοι σοφοί τε καὶ ἐπιστήμονες, ὧν τὰ ὀνόματα αὐτῶν Μαξιμιανὸς καὶ Ἱερόθεος. π(εί)θουσι τὸν βασιλέα λέγοντες, ὅτι ἐν ταῖς ἐσχάταις ἡμέραις γενήσονται βασιλεῖς πένητες καὶ βασιλεύσονται ἄνδρες ἀπεχόμενοι τῆς ὀρθῆς πίστεως καὶ ἀφέλονται αὐτά. Ἐκ τῆς προρρήσεως ταύτης κατέλιπε ταῦτα ὁ βασιλεὺς ἄνευ ἀργυρίου μέχρι τὴν σήμερον. Ἐποίησε δὲ καὶ βαθμῖδας ἐν τῷ ἱερῷ συνθρόνῳ, ἐν ᾧ οἱ ἱερεῖς ἐκαθέζοντο ἐν τῇ θείᾳ λειτουργίᾳ, καὶ τὸν θρόνον τὸν μεσώτατον, ἐν ᾧ καθέζεται ὁ π(ατ)ριάρχης ἐξ ἀργυρίου καὶ χρυσίου καὶ λίθων πολυτίμων σαρδονυχιῶν καὶ σαπφείρων. Ἐπάνω δὲ τοῦ ἄμβωνος ἐποίησε χρυσὸν τοῦρλον | Διὰ μαρμάρων καὶ λυχνηταρίων καὶ σμαραγδῶν κατεσκεύασεν· ἐπάνω δὲ αὐτοῦ σ(ταυ)ρὸν χρυσὸν καθαρώτατον λιτρῶν Ρ. εἶχε δὲ ὁ ἄμβων ἐπάνω στήθεα καὶ πετάσια ἀργυρᾶ Τοῦ τε ἁγίου φρέατος, οὗ ὁ Χ(ριστὸ)ς ἐκάθησεν τῇ Σαμαρίτιδι διαλεγόμενος, τὰς ἓξ σάλπιγγας γύρωθεν ἱσταμένας ἀπὸ Ἰεριχοῦ ἤφερον ταύτας. καὶ οἱ ἱερεῖς σαλπίσαντες ἐκύκλωσάν τε[ς] Ἰεριχὼ τὴν ἑπτάτειχον καὶ κατέπεσον τὰ τείχη ἐπὶ Ἰ(ησο)ῦ τοῦ Ναυῆ. ἐκεῖ ἐστὶν ὁ τίμιος σ(ταυ)ρός, ἐν ᾧ ἐπάγη ὁ κ(ύριο)ς ἡμῶν Ἰ(ησοῦ)ς Χ(ριστό)ς.

Ἐποίησεν δὲ ὁ βασιλεὺς τοῦ αὐτοῦ μέτρου τῆς ἡλικίας τοῦ δεσπότου Χ(ριστο)ῦ ἕτερον σ(ταυ)ρὸν καὶ κατεκόσμησεν αὐτὸν ἐκ χρυσίου καθαροῦ καὶ λίθων τιμίων καὶ ἔστησεν αὐτὸν[ς] ἐν τῷ σκευοφυλακείῳ μέχρι τὴν σήμερον, ἐπιτελοῦντο(ς) δὲ ψυχῶν καὶ σωμάτων ἰατρείαν, [ὥστε] καὶ δαίμονας ἀπελαύνοντα καὶ σημεῖα πολλὰ τελοῦντα. Εἰσὶν δὲ οἱ κίονες τοῦ ναοῦ ἔσωθεν καὶ ἔξωθεν χίλιαι[ς] καὶ μία. καὶ πάντα δὲ τὰ κιόνια τῶν κεφαλοκιόνων καὶ

οἱ ποδίσκοι αὐτῶν ἐνθρονιασμένα μετὰ λειψάνων ἀπὸ ἁγίων μαρτύρων, καθὼς καὶ ὁ τροῦλλος ὁ μέγας καὶ ἡ ἁγία καὶ μεγάλη τράπεζα[ν] πρὸς δοξολογίαν καὶ ἁγιασμὸν τοῦ θαυμαστοῦ ναοῦ. καὶ γὰρ ἐκ πολλοῦ πόθου καὶ πίστεως ἐποίησε ταῦτα ὁ φιλόχριστος βασιλεὺς οὕτως, ὥστε ἐν τῷ μαλάγματι τοῦ ἀσβέστου τῆς ἐν τῷ κτίσματι χορηγουμένης προσέταξεν ἐμβάλλεσθαι ἀργύρια ἥμισυ μόδιον καὶ ἀνασμή[τ]εσθαι μετὰ τῆς ἀσβέστου πρὸς τὸ εὑρίσκεσθαι (1) αὐτὰ ὑπὸ τῶν ἐργατῶν καὶ πᾶσαν σπουδὴν καὶ προθυμίαν ἐποίησε. Ἐποίησε δὲ καὶ ἱερὰ τῶν ιβ ἑορτῶν ἄνευ τῶν καθημερινῶν καὶ ἄλλα πολύτιμα, χερνόξυστα καὶ ποτήρια καὶ λαβίδας καὶ σφουγγήτας καὶ ἁπλῶς εἰπεῖν πάντα διὰ χρυσοῦ καὶ λίθων πολυτελῶν. Ἔστι δὲ ὁ ἀριθμὸς τῶν ἱερῶν σκευῶν ϡ καὶ ἕνα. στέμματα τῶν ιβ ἑορτῶν ἀνὰ ιβ ὁμοῦ Ρκδ, ἐσθῆτας τῶν ἱερέων χρυσᾶς σωληνωτάς (2) Τ. ποτηροκαλύμματα καὶ ἀέρας χρυσοϋφάντας διὰ λίθων καὶ μαργάρων χιλιάδας Γ . . . Εὐαγγέλια χρυσᾶ καὶ χρυσόγραφα διὰ χρυσοῦ ἔξωθεν καὶ ἔσωθεν μετὰ λίθων καὶ μαργάρων βαρυτίμων κδ ἔχοντα τὸ τίμημα αὐτῶν ἀνὰ ιε λιτρῶν. θυμιατήρια χρυσᾶ τ' καὶ λυχνίας χρυσᾶς τ' ἀνὰ λυτρῶν κ. τὰ δὲ πολυκάνδηλα καὶ οἱ βοτρύδες (3) τοῦ ὅλου ναοῦ ἔσωθεν χιλιάδες λ ἐξ ἀσημίου καθαροῦ, κεχρυσωμένα (4) μεγάλα τε πάνυ. Ἐκλήρωσε δὲ καὶ τοὺς μέλλοντας δουλεύειν καὶ ψάλλειν τὸν ναὸν τοῦ θ(εο)ῦ κληρικοὺς ‚β'' . . Ἐκλήρωσε δὲ καὶ κτίσματα εἰς τὸν ναὸν τοῦ θ(εο)ῦ εἰς τροφὴν τῶν κληρικῶν πάμπολλα ἀπὸ ἀνατολῆς καὶ δύσεως, ἄρκτου τε καὶ μεσημβρίας καὶ ἀπὸ πάσης ἑῴας. ἐτύπωσε δὲ καὶ τὰς μεγάλας ἑορτὰς καὶ τοῦ δίδειν ἔλαιον μέτρα ‚α'. εἰς φαῦσιν τοῦ ναοῦ. περὶ δὲ κηρῶν καὶ λαμπάδων καὶ λριπῶν τί χρὴ λέγειν; οἶνον καὶ ἄρτον τῆς προθέσεως ἀνὰ χιλιάδα καθ' ἑκάστην ἡμέραν, εἰς δὲ | τὰς ἐπισήμους ἑορτὰς ἀνὰ χιλιάδας δύο. ἐτύπωσε δὲ καὶ ᾀδούσας Ρ. εἰς τὰς δύο χοροὺς ἀνὰ ν, ἵνα ψάλλωσιν ἐν τῷ ἁγίῳ ναῷ. ἐποίησε δὲ καὶ ἀσκη-

(1) Τὸ χειρ. *εὑρίσκεται*.
(2) Τὸ χειρ. *σωληνιτάς*
(3) Τὸ χειρ. *σουμίδες*.
(4) Τὸ χειρ. *καὶ χρυσωμένα*.

τήρια δύο πλησίον τῆς μεγάλης ἐκκλησίας, τὸ ἓν ἐκ δεξιῶν καὶ τὸ ἕτερον ἐξ ἀριστερῶν. Ὁμοίως δὲ καὶ τὰς κέλ λ ας τῶν κληρικῶν πλησίον τοῦ ναοῦ κατὰ τὴν τάξιν αὐτῶν. ἐποίησε δὲ καὶ σ(αυ)ροὺς ε. καλλωπίσας αὐτοὺς διὰ χρυσοῦ καθαροῦ καὶ πολυτελῶν λίθων τιμίων, ὥστε ἀποτιμηθῆναι αὐτοὺς ἄνω κεντηναρίων(1) δέκα. μανουάλια(2) δὲ γλυπτὰ ὁλόχρυσα διὰ λίθων μεγίστων καὶ μαργάρων ἀποτιμηθέντα ἄνω κεντηναρίων(3) ε. ἐποίησε δὲ καὶ ἕτερα κρυστάλ(λ)ινα πάμπολλα, τοὺς δὲ πόδας αὐτῶν ὁλοχρύσους, ἀποτιμηθέντα ἀνὰ κεντηνάρια ιβ. ἐποίησε δὲ καὶ ἕτερα μανουάλια μ ἀνδρομήκη(4) κεχρυσωμένα. ἐποίησε δὲ καὶ ἕτερα ν, ἐν τῇ ἰσότητι αὐτῶν τοῦ ἵστασθαι εἰς τὸ ἅγιον θυσιαστήριον. εἰς δὲ τὸν ἄμβωνα ἐγένετο ἔξοδος κεντηνάρια χρυσίου τξε ἑνὸς χρόνου πάκτου τῆς Αἰγύπτου.

Ἐγένετο δὲ ἡ ἔξοδος πᾶσα τοῦ ναοῦ σὺν τῷ ἔσω καὶ ἔξω κεντηνάρια ‚βχνΓ. αὐτὸς δὲ ὁ φιλόχριστος Ἰουστινιανὸς μόνος ἤρξατο τὸν ναὸν τοῦ θ(εο)ῦ ἀπὸ θεμελίων καὶ αὐτὸς ἐτελείωσεν αὐτὸν μηδενὸς ἑτέρου συνδρομήσαντος, μόνον ὁ δεσπότης Ἰ(ησοῦ)ς Χ(ριστὸ)ς Καὶ ἡ πανάχραντος αὐτοῦ μ(ή)τ(η)ρ θελήσει τοῦ Π(ατ)ρ(ὸ)ς καὶ συνεργείᾳ τοῦ ἁγίου Πν(εύματο)ς | . οὗτος γὰρ ὁ λόγος τοῦ θ(εο)ῦ συνήργησεν αὐτῷ ἐν πᾶσιν. ὅστις δὲ ἀπιστεῖ τῷ συγγράμματι τούτῳ εἰσελθέτω ἐν τῷ ναῷ καὶ ἰδέτω καὶ θαυμασάτω τά τε κάλλη καὶ τοῦ ναοῦ τὴν πολλὴν ποικιλίαν, πῶς ἐκ χρυσίου καθαροῦ ἐξαστράπτουσα πάντοθεν, ἀργυρίου καὶ λίθων τιμίων καὶ κρυστάλλου καὶ μαργάρων Καὶ πολυποικίλων, ἰδέτω δὲ τὸ ἔδαφος ὅπως ἐκ τῶν μαρμάρων πεποικίλωται(5) χρόας δίκην θαλάσσης κυμαινομένης ὁρᾶτε. τὰς γὰρ τέσσαρας σφῆνας τοῦ ναοῦ τοὺς τέσσαρας ποταμοὺς ὀνόματα τοὺς ἐκ παραδείσου ἐξερχομένους(6). ἐποίησε δὲ καὶ φιάλην ἔχουσα(ν) στοὰς ιβ μὲ τοὺς λέοντας μαρμαρένιους δώ-

(1) Τὸ χειρ. *ἀνακεν τηναρίων.*
(2) Τὸ χειρ. *μανουήλια.*
(3) Τὸ χειρ. *ἀνακεντηνάρια.*
(4) Τὸ χειρ. *ἀπὸ ἀνδρομήκου.*
(5) Τὸ χειρ. *πεποικίλο το.*
(6) Τὸ χειρ. *τὸ ἐκ παρ. ἐξερχόμενοι.*

δεκα ἐξερχόμενον τὸ ὕδωρ ἐκ τῶν στομάτων αὐτῶν εἰς ἀπόνιψιν τοῦ κοινοῦ λαοῦ. ἐν δὲ τῇ δεξιᾷ πλευρᾷ εἰς τὸ γυναικίτην ἐποίησεν θάλασσαν δεχομένη(ν) τὰ ὀμβρήματα αὐτῶν πηχῶν ξε. ὑπεράνω δὲ τῆς θαλάσσης ἔβαλε κλίμακα ἵνα διέρχωνται οἱ ἱερεῖς. ἔστησε δὲ ἀπὸ πάντων τῶν ζώων στήλας μαρμαρένινας, ⟨ἵνα⟩ διὰ τέχνης διέρχεται τὸ ὕδωρ διὰ τῶν στομάτων αὐτῶν, ὅπως οἱ ἱερεῖς καὶ μόνον νίπτονται. Λέγεται δὲ ὁ τόπος μιτατήρια(1)· τὴν γὰρ ὡραιότητα καὶ πολυποικιλίαν καὶ τὸ μέγεθος οὐδεὶς δύναται εἰπεῖν ἢ κατανοῆσαι. τελέσας δὲ τὸ ἔργον τοῦ θ(εο)ῦ τὴν Ἁγίαν Σοφίαν καὶ πάντα τὰ ἱερὰ ἀναθήματα μηνὶ Δεκεμβρίῳ εἰς τὰς κβ ἡμέρᾳ σαββάτῳ ἐστρατοπέδευσεν [δὲ] ὁ βασιλεὺς καὶ ποιήσας προέλευσιν ἀπὸ τοῦ μεγάλου παλατίου | Καθήμενος ἐπὶ τῶν θαυμασίων τεσσάρων ἵππων λευκῶν κεχρυσωμένων (2) καὶ ἐλθὼν πρὸς τὸν πυλῶνα τοῦ ναοῦ κατῆλθεν ἐκ τοῦ ἅρματος καὶ εἰσῆλθεν ἐν τῷ ναῷ τοῦ Ἁγίου Προδρόμου καὶ ἔθυσε βόα(ς) ,α, πρόβατα ,β, ἐλάφους λ, (3) τράγους ,α, μόσχους ,α, ἄρνας (4) ,α, ἐρίφους ,β, περιστερὰς καὶ ἄλλα ἕτερα Γ, ὄρνεις (5) μετ' ἀλεκτόρων (6) χιλιάδες κα. ταῦτα πάντα σφάξας δέδωκεν πτωχοῖς, χηρῶν τε καὶ ὀρφανῶν καὶ πασῶν τῶν δεομένων. δέδωκεν σῖτον χιλιάδας μόδια ε Καὶ οἴνου μέτρα χιλιάδες κ. ταῦτα πάντα σφαγιασθέντα τε καὶ δοθέντα πένησι μέχρι ὡρῶν τριῶν τῇ αὐτῇ ἡμέρᾳ τοῦ σαββάτου, τότε εἰσοδεύσας ὁ βασιλεὺς μετὰ τοῦ ἁγιωτάτου π(ατ)ριάρχου Εὐτυχίου παντός τε τοῦ ϛρατοῦ αὐτοῦ καὶ τοῦ κλήρου, ὡς ἤγγισε δὲ τὰς ὡραίας καὶ χρυσᾶς καὶ βασιλικὰς πύλας, ἀναπαυθεὶς δὲ ὁ βασιλεὺς προέδραμε μέχρι τοῦ ἄμβωνος καὶ στὰς κατέναντι τοῦ μεγάλου τρούλ(λ)ου ἐξέ-

(1) Ἴσως ἐκ τοῦ mutio, «περὶ οὗ nihil est mutire» οὐδὲ γρῦξαι πρὸς ἔλεγχον ἢ ἔπαινον.

(2) Τὸ χειρ. *καὶ χρυσωμένων*. Ἡ λέξις δηλοῖ βεβαίως ὅτι ἔφερον χρυσᾶ φάλαρα.

(3) Ὁ ἀριθμὸς εἶναι ἐλάχιστος προελθών, φαίνεται, ἐκ κακῆς ἀναγνώσεως τοῦ ἀντιγραφέως· ἄλλα χειρόγραφα ἀναγράφουσιν ἐλάφους χ' ἢ φ' πιθανώτατα δὲ τὸ λ' προῆλθεν ἐκ τοῦ χ'.

(4) Τὸ χειρ. *ἄρνες*. (5) Τὸ χειρ. *ἄρνους*. (6) Τὸ χειρ. *μεταχὴ Γυῶν*.

